ἐπὶ τούτοις ἀνδρεῖον παρ᾽ ὁντινοῦν, ἐγὼ μὲν οὔτ᾽ ἂν ᾤόμην
γενέσθαι οὔτε ὁρῶ γιγνόμενον· ἀλλ᾽ οἵ τε ὀξεῖς ὥσπερ οὗ-
τος καὶ ἀγχίνοι καὶ μνήμονες ὡς τὰ πολλὰ καὶ πρὸς τὰς
ὀργὰς ὀξύρροποί εἰσι, καὶ ᾄττοντες φέρονται ὥσπερ τὰ
ἀνερμάτιστα πλοῖα, καὶ μανικώτεροι ἢ ἀνδρειότεροι φύον- b
ται, οἵ τε αὖ ἐμβριθέστεροι νωθροί πως ἀπαντῶσι πρὸς τὰς
μαθήσεις καὶ λήθης γέμοντες. Ὁ δὲ οὕτω λείως τε καὶ
ἀπταίστως καὶ ἀνυσίμως ἔρχεται ἐπὶ τὰς μαθήσεις τε καὶ
ζητήσεις μετὰ πολλῆς πρᾳότητος, οἷον ἐλαίου ῥεῦμα ἀψο-
φητὶ ῥέοντος, ὥστε θαυμάσαι τὸ τηλικοῦτον ὄντα οὕτως
ταῦτα διαπράττεσθαι.

ΣΩ. Εὖ ἀγγέλλεις. Τίνος δὲ καὶ ἔστι τῶν πολιτῶν ;

ΘΕΟ. Ἀκήκοα μὲν τοὔνομα, μνημονεύω δὲ οὔ. Ἀλλὰ
γάρ ἐστι τῶνδε τῶν προσιόντων ὁ ἐν τῷ μέσῳ· ἄρτι γὰρ ἐν c
τῷ ἔξω δρόμῳ ἠλείφοντο ἑταῖροί τέ τινες οὗτοι αὐτοῦ καὶ
αὐτός, νῦν δέ μοι δοκοῦσιν ἀλειψάμενοι δεῦρο ἰέναι. Ἀλλὰ
σκόπει εἰ γιγνώσκεις αὐτόν.

ΣΩ. Γιγνώσκω· ὁ τοῦ Σουνιῶς Εὐφρονίου ἐστίν, καὶ
πάνυ γε, ὦ φίλε, ἀνδρὸς οἷον καὶ σὺ τοῦτον διηγῇ, καὶ
ἄλλως εὐδοκίμου, καὶ μέντοι καὶ οὐσίαν μάλα πολλὴν κατέ-
λιπεν. Τὸ δ᾽ ὄνομα οὐκ οἶδα τοῦ μειρακίου.

ΘΕΟ. Θεαίτητος, ὦ Σώκρατες, τό γε ὄνομα· τὴν μέντοι d
οὐσίαν δοκοῦσί μοι ἐπίτροποί τινες διεφθαρκέναι. Ἀλλ᾽
ὅμως καὶ πρὸς τὴν τῶν χρημάτων ἐλευθεριότητα θαυμα-
στός, ὦ Σώκρατες.

ΣΩ. Γεννικὸν λέγεις τὸν ἄνδρα. Καί μοι κέλευε αὐτὸν
ἐνθάδε παρακαθίζεσθαι.

ΘΕΟ. Ἔσται ταῦτα. Θεαίτητε, δεῦρο παρὰ Σωκράτη.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415887585/14 UNIVERSITÄT LEIPZIG